Χανανίτιδι καὶ ὀμνύουσαι τῷ ὀνόματι κυρίου· Πόλις-ασεδεκ κληθή-
σεται ἡ μία πόλις. — 19τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ 19
κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ
κυρίῳ 20καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα κυρίῳ ἐν χώρᾳ Αἰ- 20
γύπτου, ὅτι κεκράξονται πρὸς κύριον διὰ τοὺς θλίβοντας αὐτούς,
καὶ ἀποστελεῖ αὐτοῖς κύριος ἄνθρωπον, ὃς σώσει αὐτούς, κρίνων
σώσει αὐτούς. 21καὶ γνωστὸς ἔσται κύριος τοῖς Αἰγυπτίοις, καὶ 21
γνώσονται οἱ Αἰγύπτιοι τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ποιή-
σουσιν θυσίας καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ καὶ ἀποδώσουσιν.
22καὶ πατάξει κύριος τοὺς Αἰγυπτίους πληγῇ μεγάλῃ καὶ ἰάσεται 22
αὐτοὺς ἰάσει, καὶ ἐπιστραφήσονται πρὸς κύριον, καὶ εἰσακούσεται
αὐτῶν καὶ ἰάσεται αὐτούς. — 23τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ὁδὸς Αἰ- 23
γύπτου πρὸς Ἀσσυρίους, καὶ εἰσελεύσονται Ἀσσύριοι εἰς Αἴγυπτον,
καὶ Αἰγύπτιοι πορεύσονται πρὸς Ἀσσυρίους, καὶ δουλεύσουσιν οἱ
Αἰγύπτιοι τοῖς Ἀσσυρίοις. — 24τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Ισραηλ τρίτος 24
ἐν τοῖς Ἀσσυρίοις καὶ ἐν τοῖς Αἰγυπτίοις εὐλογημένος ἐν τῇ γῇ,
25ἣν εὐλόγησεν κύριος σαβαωθ λέγων Εὐλογημένος ὁ λαός μου ὁ 25
ἐν Αἰγύπτῳ καὶ ὁ ἐν Ἀσσυρίοις καὶ ἡ κληρονομία μου Ισραηλ.
1Τοῦ ἔτους οὗ εἰσῆλθεν Ταναθαν εἰς Ἄζωτον, ἡνίκα ἀπεστάλη 20
ὑπὸ Αρνα βασιλέως Ἀσσυρίων καὶ ἐπολέμησεν τὴν Ἄζωτον καὶ
κατελάβετο αὐτήν, 2τότε ἐλάλησεν κύριος πρὸς Ησαιαν λέγων Πο- 2
ρεύου καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου καὶ τὰ σανδάλιά
σου ὑπόλυσαι ἀπὸ τῶν ποδῶν σου· καὶ ἐποίησεν οὕτως πορευ-
όμενος γυμνὸς καὶ ἀνυπόδετος. 3καὶ εἶπεν κύριος Ὃν τρόπον πε- 3
πόρευται Ησαιας ὁ παῖς μου γυμνὸς καὶ ἀνυπόδετος τρία ἔτη,
ἔσται σημεῖα καὶ τέρατα τοῖς Αἰγυπτίοις καὶ Αἰθίοψιν· 4ὅτι οὕτως 4
ἄξει βασιλεὺς Ἀσσυρίων τὴν αἰχμαλωσίαν Αἰγύπτου καὶ Αἰθιόπων,
νεανίσκους καὶ πρεσβύτας, γυμνοὺς καὶ ἀνυποδέτους ἀνακεκαλυμ-
μένους τὴν αἰσχύνην Αἰγύπτου. 5καὶ αἰσχυνθήσονται ἡττηθέντες 5

18 χαναανειτιδι B | ομνυουσαι AQScL] -νυοντες S*C: sic οι ο′ teste Q, cf. 3 17; -νυντες B† | κυριου] + σαβαωθ LC (in O sub ※) | ασεδεκ] ασεδ ηλιου S*†: ηλιου est uersio Symmachi | κληθησ.] pr. και S*† || 19 θυσιαστ.] pr. το A† || 20 κυριω] -ριος S*†, + σαβαωθ L | προς κυριον > S*† | κυριος > BC = 𝔐 || 21 θυσιας] -αν και δωρον LC, θυσια ※και δωρω Qmg || 22 μεγαλη > BLC = 𝔐 | επακουσεται AQ† || 23 οδος] pr. η B† | οι AQLCp] > BSCp || 24 ασσυριοις ... αιγυπτιοις SA] tr. BQLC = 𝔐 || 25 ευλογημενος] + εσται S† | κληρον.] pr. γη B*†

20 1 ου] οτε B† | ταναθαν] ταθαν S*†, ναθαν ABc, θαναθαν L | αρνα] σαρνα L | κατελαβετο] ελαβε(ν) BL || 2 ησαιαν] + υιον αμως BL = 𝔐 | εποιησεν LC] ποιησεν (sic) S*†, ποιησον BAQSc | ανυποδητος AL: item L in 3. 4, cf. Thack. § 6, 15 || 3 ησαιας / ο παις μου AQC] tr. BSL = 𝔐 | εσται] τρια ετη εσται εις (sic) B† | fin.] + και νοησουσιν S 393† || 4 βασιλευς] pr. ο S | ανακεκαλ.] αμα κεκαλ. B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/595 UNIVERSITÄT LEIPZIG